27 τοῦ ὄρους μου· καὶ δώσω τὸν ὑετὸν ὑμῖν, ὑετὸν εὐλογίας. [27]καὶ
τὰ ξύλα τὰ ἐν τῷ πεδίῳ δώσει τὸν καρπὸν αὐτῶν, καὶ ἡ γῆ δώσει
τὴν ἰσχὺν αὐτῆς, καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν ἐν ἐλπίδι
εἰρήνης, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος ἐν τῷ συντρῖψαί με
τὸν ζυγὸν αὐτῶν· καὶ ἐξελοῦμαι αὐτοὺς ἐκ χειρὸς τῶν καταδου-
28 λωσαμένων αὐτούς. [28]καὶ οὐκ ἔσονται ἔτι ἐν προνομῇ τοῖς ἔθνεσιν,
καὶ τὰ θηρία τῆς γῆς οὐκέτι μὴ φάγωσιν αὐτούς· καὶ κατοικήσου-
29 σιν ἐν ἐλπίδι, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. [29]καὶ ἀναστήσω
αὐτοῖς φυτὸν εἰρήνης, καὶ οὐκέτι ἔσονται ἀπολλύμενοι λιμῷ ἐπὶ
30 τῆς γῆς καὶ οὐ μὴ ἐνέγκωσιν ἔτι ὀνειδισμὸν ἐθνῶν. [30]καὶ γνώσον-
ται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν, καὶ αὐτοὶ λαός μου οἶκος
31 Ισραηλ, λέγει κύριος. [31]πρόβατά μου καὶ πρόβατα ποιμνίου μού
ἐστε, καὶ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, λέγει κύριος κύριος.

35 [1]Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων [2]Υἱὲ ἀνθρώπου, ἐπί-
στρεψον τὸ πρόσωπόν σου ἐπ᾽ ὄρος Σηιρ καὶ προφήτευσον ἐπ᾽
3 αὐτὸ [3]καὶ εἰπόν Τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ ἐπὶ σέ, ὄρος
Σηιρ, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σὲ καὶ δώσω σε ἔρημον, καὶ
4 ἐρημωθήσῃ, [4]καὶ ταῖς πόλεσίν σου ἐρημίαν ποιήσω, καὶ σὺ ἔρημος
5 ἔσῃ· καὶ γνώσῃ ὅτι ἐγώ εἰμι κύριος. [5]ἀντὶ τοῦ γενέσθαι σε ἐχθρὰν
αἰωνίαν καὶ ἐνεκάθισας τῷ οἴκῳ Ισραηλ δόλῳ ἐν χειρὶ ἐχθρῶν
6 μαχαίρᾳ ἐν καιρῷ ἀδικίας ἐπ᾽ ἐσχάτῳ, [6]διὰ τοῦτο, ζῶ ἐγώ, λέγει
7 κύριος κύριος, εἰ μὴν εἰς αἷμα ἥμαρτες, καὶ αἷμά σε διώξεται. [7]καὶ
δώσω τὸ ὄρος Σηιρ εἰς ἔρημον καὶ ἠρημωμένον καὶ ἀπολῶ ἀπ᾽
8 αὐτοῦ ἀνθρώπους καὶ κτήνη [8]καὶ ἐμπλήσω τῶν τραυματιῶν σου
τοὺς βουνοὺς καὶ τὰς φάραγγάς σου, καὶ ἐν πᾶσι τοῖς πεδίοις σου
9 τετραυματισμένοι μαχαίρᾳ πεσοῦνται ἐν σοί. [9]ἐρημίαν αἰώνιον θή-
σομαί σε, καὶ αἱ πόλεις σου οὐ μὴ κατοικηθῶσιν ἔτι· καὶ γνώσῃ
10 ὅτι ἐγώ εἰμι κύριος. [10]διὰ τὸ εἰπεῖν σε Τὰ δύο ἔθνη καὶ αἱ δύο
χῶραι ἐμαὶ ἔσονται καὶ κληρονομήσω αὐτάς, καὶ κύριος ἐκεῖ ἐστιν,

26 δωσω ult. — fin.] αποστελω υετον ευλογιας αυτοις A || 27 τα εν τω πεδιω] του παι(pro πε)διου A | δωσει $1^{0}$] pr. απο A | αυτων $1^{0}$] -τοις A† | την ισχυν] τον καρπον A† | τον ζυγον B†] + του κλοιου A, τους κλοιους του ζυγου *L* || 28 ουκ εσ. ετι] ουκετι εσ. A, ουκ εσ. ουκετι Bc | φαγωσιν] πτοησει A(†) || 29 ου μη ενεγκ. ετι / ονειδ. εθνων] tr. A || 30 ισραηλ] pr. του A | κυριος ult. B*†] + κυριος ABc: cf. 2 4 || 31 init. B†] pr. και υμεις rel.: cf. 𝔐 | ποιμνιου] pr. του ABc

35 2 επ $1^{0}$] επι το A | επ $2^{0}$] εις B† || 3 ειπον B*†] + αυτω rel. = 𝔐 | κυριος $2^{0}$ > A | ερημον (cf. 33 28)] pr. εις B*†: cf. 7 || 4 ταις] pr. εν A pl. || 5 αιωνιαν: sic B† hic, Bc† in 9, cf. Thack. p. 172 n.; rel. -νιον | εν χειρι εχθρων μαχαιρα] εν καιρω εχθρων εν χειρι μαχαιρας A, + ※εν καιρω θλιψεως αυτων *O* | επ εσχατων A || 7 το > B || 8 σου $1^{0}$ > B*† | τους > B† | βουνους] + σου A | τας] pr. πασας A || 9 init.] pr. και A | αιων.: cf. 5 || 10 δια το ειπειν σε] διοτι ειπας A | εσονται] εισιν A | κυριος] pr. ο A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/838 UNIVERSITÄT LEIPZIG